τῆς προαγούσης ἡ φύσις ἐκράτησεν; Ὥστε ἀδύνατον εἰς ἀλλο-
κειμένας ἀναφέρεσθαι ἀρχὰς τοῦ σώματος δημιουργίαν,
καὶ τῆς ψυχῆς. Ἀλλὰ γὰρ ἔτι φασὶ καλῶς γε φάσκον-
τες. Οὐδὲ γὰρ οὐδ᾽ οὕτω κατεκράτησεν, οὐδὲ τῶν ἑκόντων
προδεδωκότων τῆς ἑαυτοῦ, τῆς ψυχῆς ὁ ἐχθρός, ὡς
μηδαμῆ πρὸς μηδεμίαν ὅλως τῆς ἀληθείας αἴγλην
τοὺς ἐσκοτισμένους ἐπιστρέφεσθαι. Διό φασιν, ὅτι ὁ ἀγα-
θὸς θεός, ἦν ἀεί, καὶ ἔστι, καὶ ἔσται· καὶ ὅτι ἀόρατος καὶ
ἀκατάληπτος. (Ἀλλὰ τοῦτο μὲν αὐγὴ τῆς ἀκτῖνός ἐστι
τῆς ἀληθείας.) Τῷ χρόνῳ δὲ τὸ σκότος δύναμιν πολ-
λὴν λαβόν, αὐτίκα καταχεόμενον αὐτῶν τῆς διανοίας,
τυφλοῖ τοὺς λογισμούς, καὶ παρανοεῖν καὶ λέγειν, ὡς ὁ πο-
νηρὸς γέγονεν, ἐκ τοῦ σκότους τε καὶ τοῦ πυρός. Ὃ πολλοῦ γέ-
λωτός ἐστιν ἄξιον, μᾶλλον δὲ δακρύων ἀεννάων, καὶ ἀ-
διανόητον γέννημα ψυχῆς. Τὸ γὰρ σκότος καὶ τὸ
πῦρ, εἰ μὲν αἰσθητὸν λέγουσι, πάντως καὶ τὸ ἐξ αὐτῶν
προελθὸν αἰσθητόν. Ὥστε ὁ πονηρὸς αἰσθητός ἐστιν.
Εἰ δὲ νοητόν ἐστι τὸ σκότος καὶ τὸ πῦρ, ἐκεῖνα μᾶλλον
ἐστὶν ὁ πονηρός, ἢ τὸ ἐξ αὐτῶν προελθόν. Καὶ τοῦτο δὲ
τὸ σκότος καὶ τὸ πῦρ, ἄρα συναΐδιά ἐστι τῷ θεῷ, ἢ ὕστε-
ρον γέγονε. Καὶ ποῦ ἦν τότε ὁ πονηρός, ὅτε ταῦτα ἦν;
Εἰ δὲ ὕστερον γέγονε, τίς ὁ προαγαγὼν αὐτά; τὸ γὰρ νο-
ητὸν σκότος ἀπ᾽ ἀρχῆς ὑπάρχον σκότος, οὐδὲ τὸν προα-
γαγόντα αὐτὸ ἀληθῶν ἀφίησιν. Ὁμοίως δὲ οὐδὲ τὸ πῦρ,
ὅπερ, νοητὸν ὄν, τοῦ ἀρχηγοῦ τῆς κακίας γέγονε προβολεύς

καὶ